KEIMENA2

1. Πλ. Συμπ. 189d3-e2

   [189δ] ἐπίκουρός τε ὢν τῶν ἀνθρώπων καὶ ἰατρὸς τ ούτων ὧν ἰαθέντων μεγίστη εὐδαιμονία ἂν τῷ ἀνθ ρωπείῳ γένει εἴη. ἐγὼ οὖν πειράσομαι ὑμῖν εἰσηγή σασθαι τὴν δύναμιν αὐτοῦ, ὑμεῖς δὲ τῶν ἄλλων διδ άσκαλοι ἔσεσθε. δεῖ δὲ πρῶτον ὑμᾶς μαθεῖν τὴν ἀ νθρωπίνην φύσιν καὶ τὰ παθήματα αὐτῆς. ἡ γὰρ π άλαι ἡμῶν φύσις οὐχ αὐτὴ ἦν ἥπερ νῦν, ἀλλ᾽ ἀλλο ία. πρῶτον μὲν γὰρ τρία ἦν τὰ γένη τὰ τῶν ἀνθρώ πων, οὐχ ὥσπερ νῦν δύο, ἄρρεν καὶ θῆλυ,

2. Πλ. Φαίδρος 259e7-260a4
   **Φαῖδρος**
   οὑτωσὶ περὶ τούτου ἀκήκοα, ὦ φίλε Σώκρατες, οὐκ

[260α] εἶναι ἀνάγκην τῷ μέλλοντι ῥήτορι ἔσεσθαι τὰ τῷ ὄντι δίκαια μανθάνειν ἀλλὰ τὰ δόξαντ᾽ ἂν πλήθει οἵπε ρ δικάσουσιν, οὐδὲ τὰ ὄντως ἀγαθὰ ἢ καλὰ ἀλλ᾽ ὅσα δό ξει: ἐκ γὰρ τούτων εἶναι τὸ πείθειν ἀλλ᾽ οὐκ ἐκ τῆς ἀλη θείας.

3. Ισοκράτης, *Προς Νικοκλέα* 7-8
   διὰ τούτου τούς τ᾽ ἀνοήτους παιδεύομεν καὶ τοὺς φρονίμους δοκιμάζομεν: τὸ γὰρ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα, καὶ λόγο ς ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς κ αὶ πιστῆς εἴδωλόν ἐστιν.

[8] μετὰ τούτου καὶ περὶ τῶν ἀμφισβητησίμων ἀγωνιζό μεθα καὶ περὶ τῶν ἀγνοουμένων σκοπούμεθα.

4. Ξενοφών, *Κυνηγετικός* 13.1
   [1.13] Ὀδυσσεὺς δὲ καὶ Διομήδης λαμπροὶ μὲν καὶ καθ᾽ ἓν ἕκαστον, τὸ δὲ ὅλον αἴτιοι τοῦ Τροίαν ἁλῶ ναι. Κάστωρ δὲ καὶ Πολυδεύκης ὅσα ἐπεδείξαντο ἐ ν τῇ Ἑλλάδι τῶν παρὰ Χείρωνος διὰ τὸ ἀξίωμα τὸ ἐ κ τούτων ἀθάνατοί εἰσι.

***θαυμάζω δὲ τῶν σοφιστῶν καλουμένων ὅτι φασὶ μὲν ἐπ᾽ ἀρετὴν ἄγειν οἱ πολλοὶ τοὺς νέους, ἄγουσι δ᾽ ἐπὶ το ὐναντίον: οὔτε γὰρ ἂν ἄνδρα που ἑωράκαμεν ὅντιν᾽ οἱ νῦν σοφισταὶ ἀγαθὸν ἐποίησαν, οὔτε γράμματα παρέχ ονται ἐξ ὧν χρὴ ἀγαθοὺς γίγνεσθαι,
[2] ἀλλὰ περὶ μὲν τῶν ματαίων πολλὰ αὐτοῖς γέγραπτα ι, ἀφ᾽ ὧν τοῖς νέοις αἱ μὲν ἡδοναὶ κεναί, ἀρετὴ δ᾽ οὐκ ἔν ι.

5. Αριστοτέλης, *Πολιτικά* 1323b31-37
   ἀδύνατον δὲ καλῶς πράττειν τοῖς μὴ τὰ καλὰ πρά ττουσιν: οὐθὲν δὲ καλὸν ἔργον οὔτ᾽ ἀνδρὸς οὔτε π όλεως χωρὶς ἀρετῆς καὶ φρονήσεως: ἀνδρεία δὲ πό λεως καὶ δικαιοσύνη καὶ φρόνησις [35] τὴν αὐτὴν ἔ χει δύναμιν καὶ μορφὴν ὧν μετασχὼν ἕκαστος τῶν ἀνθρώπων λέγεται δίκαιος καὶ φρόνιμος καὶ σώφ ρων.

6. Ξενοφών, *Απομν*. I.1.1-2
   πολλάκις ἐθαύμασα τίσι ποτὲ λόγοις Ἀθηναίους ἔ πεισαν οἱ γραψάμενοι Σωκράτην ὡς ἄξιος εἴη θαν άτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ κατ᾽ αὐτοῦ τοιάδε τις ἦν: ἀδικεῖ Σωκράτης οὓς μὲν ἡ πόλις νομίζει θε

οὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων
: ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων.

πρῶτον μὲν οὖν, ὡς οὐκ ἐνόμιζεν οὓς ἡ πόλις νομίζει θε
ούς, ποίῳ ποτ᾽ ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανε
ρὸς ἦν πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν
τῆς πόλεως βωμῶν, καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς
ἦν. διετεθρύλητο γὰρ ὡς φαίη Σωκράτης τὸ δαιμόνιον ἑ
αυτῷ σημαίνειν: ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτ
ὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν.